καὶ οὕτως οὐ παρεβάλλετ' ἂν πρὸς τὰ νοητὰ ὡς τὸ ποιοῦν πρὸς τὸ ποιούμενον, ὡς ἐνταῦθά φησιν ὁ Φιλόσοφος, ἀλλ' ὡς ὑπάρχων αὐτὰ τὰ νοητά. Παραβάλλεται τοίνυν ὡς ἐνέργεια πρὸς πάντα τὰ νοητά, καθόσον ἐστὶ δύναμίς τις ἄϋλος ποιητική, δυναμένη καὶ τὰ ἄλλα ὅμοια ποιεῖν ἑαυτῇ, δηλονότι ἄϋλα, καὶ κατὰ τοῦτον τὸν τρόπον τὰ δυνάμει νοητὰ ὑπάρχοντα ποιεῖ νοητὰ ἐνεργείᾳ, ὥσπερ καὶ τὸ φῶς ποιεῖ τὰ χρώματα ἐνεργείᾳ, οὐχ ὅτι αὐτὸ ἐν ἑαυτῷ ἔχει τὸν διορισμὸν τῶν χρωμάτων. Αὕτη δὲ ἡ ποιητικὴ δύναμίς ἐστι μέθεξίς τις τοῦ νοεροῦ φωτὸς καὶ κοινωνία παρὰ τῶν κεχωρισμένων οὐσιῶν, καὶ διὰ τοῦτο φησὶν ὁ Φιλόσοφος, ὅτι ἔστιν ὡς ἕξις τις, οἷον φῶς, ὅπερ οὐκ ἂν ἥρμοζε περὶ αὐτοῦ λέγεσθαι εἰ ἦν οὐσία κεχωρισμένη.

Μετὰ ταῦτα λέγων· Τὸ αὐτὸ δέ ἐστιν, διορίζεται περὶ τοῦ κατ' ἐνέργειαν νοῦ, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, τίθησι τὰς ἰδιότητας τοῦ ἐνεργείᾳ νοῦ· δεύτερον, δείκνυσι τὰς ἰδιότητας ὅλου τοῦ νοεροῦ μέρους, καθὸ διακέκριται τῶν ἄλλων μερῶν τῆς ψυχῆς, ἐν τῷ· Χωρισθεὶς δέ. Περὶ τὸ πρῶτον τίθησι τρεῖς ἰδιότητας τοῦ ἐνεργείᾳ νοῦ, ὧν πρώτη ἐστὶν ὅτι ἡ κατ' ἐνέργειαν ἐπιστήμη ἐστὶ τὸ αὐτὸ τῷ ἐπιστητῷ πράγματι, ὅπερ οὐκ ἔστιν ἀληθὲς περὶ τοῦ δυνάμει νοῦ. Δεύτερόν ἐστιν, ὅτι ἡ κατὰ δύναμιν ἐπιστήμη ἐν ἑνὶ καὶ τῷ αὐτῷ χρόνῳ ἐστὶ προτέρα τῆς κατ' ἐνέργειαν ἐπιστήμης. Ἀλλὰ καθόλου οὐκ ἔστι προτέρα οὐ μόνον φύσει, ἀλλ' οὐδὲ χρόνῳ· καὶ τοῦτ' ἔστιν ὅ φησιν ὁ Φιλόσοφος ἐν τῷ [ἐνάτῳ] τῶν μετὰ τὰ φυσικά, ὅτι ἐνέργειά ἐστι προτέρα τῆς δυνάμεως φύσει· χρόνῳ δὲ ἐν ἑνὶ καὶ τῷ αὐτῷ ἡ δύναμις προτέρα ἐστὶ τῆς ἐνεργείας, διότι ἓν καὶ τὸ αὐτὸ πρότερον μέν ἐστι δυνάμει, ὕστερον δὲ ἐνεργείᾳ γίνεται. Ἀλλὰ καθόλου διαλεγομένοις καὶ χρόνῳ ἡ ἐνέργεια προτέρα ἐστί· τὸ γὰρ ἐν δυνάμει οὐκ ἄγεται εἰς ἐνέργειαν εἰ μὴ διά τινος ἐνεργείᾳ ὄντος. Οὕτω δὲ καὶ περὶ τοῦ δυνάμει εἰδότος ἔχει, ὅτι οὐ γίνεται ἐνεργείᾳ ἐπιστήμων οὔτε δι' εὑρέσεως, οὔτε διὰ μαθήσεως εἰ μὴ διά τινος ἐπιστήμης προϋπαρχούσης ἐνεργείᾳ, διότι πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως, ὡς ἐν τῷ πρώτῳ τῶν ὑστέρων λέγεται. Τρίτη ἰδιότης ἐστὶ τοῦ ἐνεργείᾳ νοῦ, ᾗ διακέκριται τοῦ δυνάμει νοῦ καὶ τοῦ ἐν ἕξει νοῦ, ὧν ἑκάτερος ποτὲ μὲν νοεῖ, ποτὲ δὲ οὐ νοεῖ. Ἀλλὰ τοῦτο οὐ δύναται λέγεσθαι περὶ τοῦ ἐνεργείᾳ νοῦ, ὅστις ἐν αὐτῷ συνίσταται τῷ νοεῖν.

Ἐφεξῆς λέγων· Χωρισθεὶς δ' ἐστί, τίθησιν ἰδιότητας ὅλης τῆς νοερᾶς μοίρας, καὶ τοῦτο διαιρεῖται εἰς δύο· πρῶτον μὲν γὰρ προτίθησι τὴν ἀλήθειαν· δεύτερον, ἐκβάλλει τὴν ἀντίθεσιν, ἐν τῷ· Οὐ μνημονεύομεν δέ. Λέγει τοίνυν, πρῶτον, ὅτι μόνος ὁ νοῦς κεχωρισμένος ἐστὶ τοῦθ' ὅπερ ἀληθῶς ἐστὶν ὅπερ οὐ δύναται νοεῖσθαι οὔτε περὶ τοῦ ποιοῦντος νοῦ,

---

21 blanc après ἐν τῷ AB



Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

οὔτε περὶ τοῦ δυνάμει νοῦ μόνον, ἀλλὰ περὶ ἀμφοτέρων, διότι περὶ ἑκατέρου προείρηκεν, ὅτι ἔστι κεχωρισμένος. Καὶ οὕτω φαίνεται ὅτι ἐνταῦθα διαλέγεται περὶ ὅλης τῆς νοερᾶς μοίρας, ἥτις δὴ λέγεται κεχωρισμένη ἐκ τοῦ ἔχειν τὴν ἐνέργειαν ἄνευ ὀργάνου σωματικοῦ. Ἀλλ' ἐπειδὴ ἐν τῇ ἀρχῇ τούτου τοῦ βιβλίου εἶπεν ὅτι, εἴ τις ἐνέργεια ψυχῆς ἐστιν ἰδία αὐτῆς, προσήκει τὴν ψυχὴν χωρίζεσθαι, συμπεραίνει ὅτι τοῦτο μόνον τὸ μέρος τῆς ψυχῆς, δηλονότι τὸ νοερόν, ἐστὶν ἄφθαρτον καὶ ἀΐδιον. Καὶ τοῦτ' ἔστιν ὅπερ ἐν τῷ δευτέρῳ προείρηκεν, ὅτι τοῦτο τὸ γένος τῆς ψυχῆς χωρίζεται τῶν ἄλλων, ὡς τὸ ἀΐδιον τοῦ φθαρτοῦ. Λέγεται δὲ ἀΐδιον, οὐχ ὅτι ἀεὶ ἦν, ἀλλ' ὅτι ἀεὶ ἔσται· ὅθεν ἐν τῷ ἑνδεκάτῳ τῶν μετὰ τὰ φυσικὰ φησὶν ὁ Φιλόσοφος, ὅτι τὸ εἶδος οὐδέποτε ἐστὶ πρὸ τῆς ὕλης, ἀλλ' ὕστερον ὑπομένει ἡ ψυχή, οὐ πᾶσα, ἀλλ' ὁ νοῦς.

Ἐφεξῆς λέγων· *Οὐ μνημονεύομεν δέ*, ἀποκλείει τινὰ ἀντίθεσιν. Ἠδύνατο γάρ τις πιστεύειν ὡς, ἐπεὶ τὸ μέρος τοῦτο τῆς νοερᾶς ψυχῆς ἐστὶν ἄφθαρτον, ὑπομενεῖ μετὰ τὸν θάνατον ἐν τῇ νοερᾷ ψυχῇ ἡ τῶν πραγμάτων ἐπιστήμη τῷ αὐτῷ τρόπῳ ᾧ καὶ νῦν αὐτὴν ἔχει· οὗ τοὐναντίον ἔλεγεν ἐν τῷ πρώτῳ, ὅτι τὸ νοεῖν φθείρεται, τινὸς ἔνδον φθαρέντος, καὶ ὅτι, φθαρέντος τοῦ σώματος, οὐκ ἀναμιμνήσκεται οὔτε ἀγαπᾷ. Καὶ διὰ τοῦτο ἐνταῦθα νῦν φησιν, ὅτι οὐ μνημονεύομεν, δηλονότι μετὰ τὸν θάνατον, ὧν ἐν τῇ ζωῇ ἐπιστάμεθα, διότι τοῦτο μέν ἐστιν ἀπαθές, τουτέστι τοῦτο τὸ μέρος τῆς νοερᾶς ψυχῆς ἀπαθές ἐστιν· ὅθεν οὐκ ἔστιν αὐτὸ ὑποκείμενον
f. 337 τῶν τῆς ψυχῆς παθῶν, ἔρωτος δηλονότι καὶ μνήμης | καὶ μίσους καὶ τῶν τοιούτων, ἃ μετά τινος σωματικοῦ συμβαίνουσι πάθους· ὁ δὲ παθητικὸς νοῦς φθαρτός ἐστι, τουτέστι τὸ μέρος τῆς ψυχῆς τὸ τοῖς προειρημένοις πάθεσιν ὑποκείμενόν ἐστι φθαρτόν· ἀνήκει γὰρ τῇ αἰσθητικῇ μοίρᾳ. Λέγεται μέντοι τοῦτο τὸ τῆς ψυχῆς μέρος νοῦς, ὥσπερ καὶ λογικὸν λέγεται, καθόσον μετέχει πως τοῦ λόγου ἐν τῷ ὑπακούειν τῷ λόγῳ καὶ ἕπεσθαι τῇ κινήσει αὐτοῦ, ὡς ἐν τῷ πρώτῳ τῶν ἠθικῶν λέγεται. Ἄνευ δὲ τούτου τοῦ μέρους τῆς ψυχῆς τοῦ φθαρτοῦ οὐδὲν ὁ ἡμέτερος νοεῖ νοῦς· οὐ γὰρ νοεῖ τι χωρὶς φαντάσματος, ὡς μετὰ ταῦτα ῥηθήσεται. Καὶ διὰ τοῦτο, ἀναιρεθέντος τοῦ σώματος, οὐ μένει ἐν τῇ ψυχῇ χωρισθεῖσα ἡ τῶν πραγμάτων ἐπιστήμη κατὰ τὸν αὐτὸν τρόπον, καθ' ὃν καὶ ἐνταῦθα νοεῖ. Ἀλλὰ πῶς ἂν τότε νοοίη, οὐκ ἔστι τῆς παρούσης πραγματείας διεξιέναι.

## Leçon XI.

Ἡ *μὲν οὖν τῶν ἀδιαιρέτων*. Διορισάμενος ὁ Φιλόσοφος περὶ τοῦ νοῦ, ἐνταῦθα διορίζεται περὶ τῆς ἐνεργείας τοῦ νοῦ, καὶ διαιρεῖται τοῦτο εἰς δύο μέρη. Ἐν τῷ πρώτῳ διακρίνει τὰς δύο ἐνεργείας τοῦ νοῦ·

9 *λέγω* B    19 *δηλονότι* om B

ἐν τῷ δευτέρῳ διορίζεται περὶ ἑκατέρας αὐτῶν, ἐν τῷ· Τὸ δὲ ἀδιαίρετον ὅτι διχῶς. Λέγει τοίνυν, πρῶτον, ὅτι μία ἐνέργεια τοῦ νοῦ ἐστι καθὸ νοεῖ τὰ ἀδιαίρετα, ὡς ὅταν νοῇ ἄνθρωπον ἢ βοῦν ἢ ἄλλο τι τῶν ἀσυμπλέκτων, καὶ αὕτη ἡ νόησις ἐστὶν ἐν τούτοις, περὶ ἃ οὐκ ἔστι τὸ ψεῦδος, τοῦτο μὲν διὰ τὸ τὰ ἀσύμπλεκτα μήτε ἀληθῆ εἶναι, μήτε ψευδῆ· τοῦτο δὲ διὰ τὸ τὸν νοῦν μὴ ἀπατᾶσθαι ἐν τῷ τί ἐστιν, ὡς μετὰ ταῦτα δειχθήσεται. Ἀλλ' ἐν ἐκείνοις τοῖς νοητοῖς, ἐν οἷς τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐστίν, ἤδη σύνθεσίς τις τῶν νοουμένων πραγμάτων ἐστίν, ὥσπερ ὁπόταν ἐκ πολλῶν ἕν τι γίνηται. Καὶ τίθησι παραδείγματα κατὰ τὴν Ἐμπεδοκλέους δόξαν, ὃς ᾤετο πάντα τὰ γενητὰ εἶναι ἀπὸ ταὐτομάτου, καὶ οὐ διά τι τέλος, ἀλλὰ καθὼς ἂν τύχοι ἐκ τῆς διαιρέσεως τῶν πραγμάτων διὰ τοῦ νείκους, καὶ τῆς συνθέσεως διὰ τῆς φιλίας· ὅθεν ἔλεγεν ὡς ἀπ' ἀρχῆς ἐβλάστησαν πολλαὶ κορυφαὶ χωρὶς αὐχένων, ὡσαύτως δὲ καὶ ἄλλα μέρη ζῴων κεχωρισμένα τῶν ἄλλων μερῶν. Καί φησιν ὅτι ἐβλάστησαν ὡσανεὶ ἐκ τῶν στοιχείων προηγμένα χωρὶς σπέρματος ζῴων, ὥσπερ ἡ γῆ βλαστάνει βοτάνην χλοάζουσαν· ἀλλ' ὕστερον ταῦτα τὰ οὕτω διῃρημένα μέρη συνετέθησαν διὰ τῆς ὁμονοίας, καὶ ἐκ τούτων γέγονεν ἓν ζῷον ἔχον μέρη διάφορα, οἷον κεφαλήν, χεῖρας, πόδας καὶ τὰ ὅμοια. Καὶ ὅπου μὲν συνέστη ζῷον ἔχον τὰ πρὸς σύστασιν ἀναγκαῖα μέρη πάντα, τοῦτο τὸ ζῷον ἐσώθη τε καὶ ἐγέννησεν ὅμοιον ἑαυτῷ. Εἰ δὲ ἐνέλειψέ τι τῶν μερῶν ἐκείνων, οὐκ ἠδυνήθη φυλαχθῆναι οὐδὲ ἔμεινεν ἐν τῷ ὁμοίῳ ἑαυτῷ διὰ γενέσεως. Ὥσπερ τοίνυν Ἐμπεδοκλῆς ἔθετο τὴν φιλίαν συντιθέναι πολλὰ μέρη καὶ συνιστᾶν ἐξ αὐτῶν ἓν ζῷον, οὕτω καὶ ὁ νοῦς πολλὰ ἀσύμπλεκτα πρότερον κεχωρισμένα συντίθησιν καὶ ποιεῖ ἐξ αὐτῶν ἕνα νοῦν, ἐν ᾗ δὴ συνθέσει ποτὲ μὲν ἡ ἀλήθεια ἐστί, ποτὲ δὲ τὸ ψεῦδος· ἀλήθεια μέν, ὁπότε συντίθησι τὰ ἐν τῷ πράγματι ὄντα ἢ σύνθετα, ὥσπερ ὁπότε συντίθησι τὸ ἀσύμμετρον καὶ τὴν διάμετρον· ἡ γὰρ τοῦ τετραγώνου διάμετρός ἐστιν ἀληθῶς ἀσύμμετρος τῇ πλευρᾷ. Ψευδὴς δέ ἐστιν ἡ σύνθεσις, ὁπότε συντίθησι τὰ μὴ ὄντα συντεθειμένα ἐν τοῖς πράγμασιν, ὥσπερ ὁπότε συντίθησι τῇ διαμέτρῳ τὸ σύμμετρον, λέγων ὅτι ἡ τοῦ τετραγώνου διάμετρος ἐστὶ σύμμετρος τῇ πλευρᾷ. Τὸ τοίνυν σύμμετρον καὶ τὴν διάμετρον ποτὲ μὲν ἰδίᾳ καὶ κεχωρισμένως ὁ νοῦς νοεῖ, καὶ τότε εἰσὶ δύο νοητά· ὁπόταν δὲ ταῦτα συνθῇ, ἓν γίνεται νοητόν, καὶ ἅμα νοεῖται ὑπὸ τοῦ νοῦ. Ἀλλ' ἐπειδήπερ ὁ νοῦς οὐκ ἀεὶ τὰ ἐνεστῶτα συντίθησιν, ἀλλὰ καὶ τὰ γεγενημένα καὶ τὰ ἐσόμενα, διὰ τοῦτο ἐπάγει ὅτι, εἴπερ ὁ νοῦς ποιήσειεν σύνθεσιν τῶν γεγενημένων ἢ ἐσομένων, δεῖ συννοεῖν αὐτὸν τῇ ἰδίᾳ συνθέσει καὶ τὸν παρελθόντα χρόνον καὶ μέλλοντα καὶ οὕτω συντιθέναι μορφοῦντα καὶ εἰδοποιοῦντα τὴν σύνθεσιν ἐπὶ τοῦ παρελθόντος, ἢ τοῦ μέλλοντος. Καὶ

7 καί: ἢ B 14 ὡσανεί: ὡς ἂν B 25 ἡ om B ἀληθὲς B



ΕΚ Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ὅτι τοῦτο ἀληθές ἐστι δείκνυσι, διότι ἐνδέχεταί τινας συνθέσεις ἐπί τε τοῦ παρῳχηκότος καὶ τοῦ μέλλοντος εἶναι ψευδεῖς, τὸ δὲ ψεῦδος ἀεὶ ἐν τῇ συνθέσει ἐστί. Καὶ γὰρ τὸ ψεῦδος ἐστίν, ἂν τὸ μὴ λευκὸν συντεθῇ τῷ λευκῷ, ὡς ἐὰν λέγωμεν· ὁ κύκνος οὐκ ἔστι λευκός· ἢ εἰ τὸ λευκὸν συντιθοῖτο τῷ μὴ λευκῷ, ὡς ἐάν τις λέγῃ· ὁ κόραξ ἐστὶ λευκός. Καὶ f. 337v διότι πᾶν ὅπερ ἐνδέχεται καταφῆσαι, ἐνδέχεται καὶ ἀποφῆσαι, | ἐπάγει ὅτι τὰ προειρημένα πάντα δύνανται γίνεσθαι κατὰ διαίρεσιν. Δύναται γὰρ ἡ ψυχὴ διαιρεῖν καὶ κατὰ τὸν ἐνεστῶτα χρόνον, καὶ κατὰ τὸν παρελθόντα, καὶ τὸν μέλλοντα, καὶ ψευδῶς, καὶ ἀληθῶς. Οὕτως οὖν φανερόν ἐστιν ὡς, ἐπεὶ ἡ σύνθεσις καὶ ἡ διαίρεσις οὐ μόνον ἐστὶ κατὰ τὸν ἐνεστῶτα χρόνον, ἀλλὰ καὶ κατὰ τὸν παρελθόντα καὶ μέλλοντα, τὸ δὲ ἀληθὲς καὶ τὸ ψεῦδος συνίσταται ἐν τῇ συνθέσει καὶ διαιρέσει, δεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος μὴ μόνον γίνεσθαι ἐν ταῖς ἐπὶ τοῦ ἐνεστῶτος χρόνου συνθέσεσιν, ὡς ἐπὶ τοῦ· Κλέων λευκός ἐστιν· ἀλλ' ἤδη καὶ ἐν ταῖς ἐπὶ τοῦ παρεληλυθότος καὶ μέλλοντος, οἷον· Κλέων ἔσται, ἢ ἦν λευκός. Δεῖ δὲ θεωρεῖν, ὅτι ἡ σύνθεσις τῆς προτάσεως οὐκ ἔστιν ἔργον τῆς φύσεως, ἀλλ' ἔργον τοῦ νοῦ καὶ τοῦ λόγου. Καὶ διὰ τοῦτο ἐπάγει, ὅτι τὸ ποιοῦν ἕκαστον τῶν νοητῶν ἐν τῷ συντιθέναι προτάσεις ἐκ τῶν νοητῶν, τοῦτο ὁ νοῦς ἐστί. Καὶ διότι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος συνίσταται ἐν τῇ συνθέσει, διὰ τοῦτο ἐν ἕκτῳ τῶν μετὰ τὰ φυσικὰ λέγεται, ὅτι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος οὐκ εἰσὶν ἐν τοῖς πράγμασιν, ἀλλ' ἐν τῇ ψυχῇ.

Ἐφεξῆς λέγων· Τὸ δὲ ἀδιαίρετον, διορίζεται περὶ ἑκατέρας τῶν προειρημένων ἐνεργειῶν, καὶ πρῶτον περὶ ἐκείνης, ἥτις ἐστὶν ἡ νόησις τῶν ἀδιαιρέτων· δεύτερον, περὶ ἐκείνης ἥτις ἐστὶ σύνθεσις καὶ διαίρεσις, ἐν τῷ· Ἔστι δὲ ἡ μὲν φάσις· τρίτον, τίθησί τι, ὅπερ ἐστὶ κοινὸν ἀμφοτέραις, ἐν τῷ· Τὸ αὐτὸ δέ ἐστι. Τὸ πρῶτον μέρος αὖθις διαιρεῖται εἰς τρία, καθὸ τριχῶς τὸ ἀδιαίρετον λέγεται ὁσαχῶς λέγεται, καὶ τὸ ἕν, οὕτινος ὁ λόγος ἐκ τῆς ἀδιαιρεσίας λαμβάνεσθαι εἴωθεν. Λέγεται γάρ τι ἓν ἕνα μὲν τρόπον, τῇ συνεχείᾳ· ὅθεν καὶ τὸ συνεχὲς ἀδιαίρετον λέγεται, καθόσον οὐ διῄρηται ἐνεργείᾳ, εἰ καὶ ἔστι δυνάμει διαιρετόν· καὶ τοῦτ' ἔστιν ὅ φησιν ὅτι, ἐπεὶ τὸ ἀδιαίρετον διχῶς λέγεται, δηλονότι ἐνεργείᾳ καὶ δυνάμει, οὐδὲν κωλύει τὸν νοῦν νοεῖν τὸ ἀδιαίρετον, ὅταν νοῇ τι, συνεχὲς δηλονότι μῆκος, ὅ ἐστιν ἀδιαίρετον ἐνεργείᾳ, εἰ καὶ δυνάμει ἐστὶ διαιρετόν, καὶ διὰ τοῦτο νοεῖ αὐτὸ ἐν ἀδιαιρέτῳ χρόνῳ, διότι νοεῖ αὐτὸ ὡς ἀδιαίρετον. Καὶ τοῦτ' ἔστι κατὰ τῆς δόξης τοῦ Πλάτωνος, ἣν ἔθηκεν ἐν τῷ πρώτῳ, ὃς ἔλεγε τὴν νόησιν γίνεσθαι ὥσπερ διὰ κινήσεως τινὸς τοῦ συνεχοῦς μεγέθους. Δύναται τοίνυν ὁ νοῦς νοεῖν τὸ μέγεθος διχῶς· ἕνα μὲν τρόπον, καθὸ ἐστι διαιρετὸν ἐν δυνάμει, καὶ οὕτω νοεῖ τὴν γραμμὴν ἀριθμῶν μέρος

11 *παρεληλυθότα* B

Ε.Υ.Δ της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

αὐτῆς μετὰ μέρος, καὶ οὕτω νοεῖ αὐτὴν ἐν χρόνῳ· ἕτερον δὲ τρόπον, καθὸ ἐστιν ἀδιαίρετον ἐνεργείᾳ, καὶ οὕτω νοεῖ τὴν γραμμὴν ὡς ἕν τι συνεστὼς ἐκ πολλῶν μερῶν, καὶ νοεῖ αὐτὴν ἅμα. Καὶ διὰ τοῦτο ἐπάγει· Ὁμοίως γὰρ ὁ χρόνος καὶ τὸ μῆκος διαιρεῖται, ἢ οὐ διαιρεῖται ἐν τῷ νοεῖν. Ὅθεν οὐκ ἔστιν εἰπεῖν τί νοοῖτ' ἂν κατὰ τὸ ἥμισυ ἑκατέρου, ἤγουν ὅτι τὸ ἥμισυ μέρος νοεῖται ἐν τῷ ἡμίσει τοῦ χρόνου· τοῦτο γὰρ οὐκ ἂν ἦν εἰ μὴ ἡ γραμμὴ διῃρεῖτο ἐνεργείᾳ, ἀλλ' ἔστι διαιρετὴ μόνον δυνάμει. Εἰ δὲ ἑκάτερον ἥμισυ τῆς γραμμῆς χωρὶς νοήσειεν, τότε ἐνεργείᾳ διαιρεῖ τὴν γραμμὴν κατὰ τὸν νοῦν. Ὅθεν καὶ ὁ χρόνος τότε ἅμα διαιρεῖται, ὥσπερ καὶ τὸ μέγεθος. Εἰ δὲ νοεῖ τὴν γραμμὴν ὡς ἕν τι συνεστὼς ἐκ δύο μερῶν, νοήσει καὶ ἐν χρόνῳ ἀδιαιρέτῳ ἀλλὰ κατά τι ὅπερ ἐστὶν ἐν ἀμφοτέροις τοῖς μέρεσι τοῦ χρόνου, δηλονότι ἐν ἀκαρεῖ, καὶ εἰ συνεχισθήσεται ἡ θεωρία κατά τινα χρόνον, οὐ διαιρεθήσεται ὁ χρόνος ὥστε ἄλλο νοεῖν ἐν ἑνὶ μέρει τοῦ χρόνου, καὶ ἄλλο ἐν ἄλλῳ, ἀλλὰ τὸ αὐτὸ ἐν ἀμφοῖν.

Τὸ δὲ μὴ κατὰ ποσὸν λέγων, ἐνταῦθα τίθησιν ἄλλον τρόπον ἀδιαιρέτου. Λέγεται γὰρ ἄλλον τρόπον ἓν τὸ ἔχον εἶδος ἕν, εἰ καὶ σύνθετον εἴη ἐκ μερῶν μὴ συνεχῶν, ὥσπερ ἄνθρωπος, ἢ οἰκία, ἢ στράτευμα, καὶ τούτῳ ἀνταποκρίνεται τὸ κατὰ τὸ εἶδος ἀδιαίρετον. Καὶ περὶ τούτου φησὶν ἐνταῦθα, ὅτι τὸ ἀδιαίρετον μὴ κατὰ ποσότητα, ἀλλὰ κατὰ εἶδος νοεῖ ἡ ψυχὴ ἐν ἀδιαιρέτῳ χρόνῳ καὶ κατὰ τὸ ἀδιαίρετον μέρος τῆς ψυχῆς, οὐχ ὅτι ὁ νοῦς νοῶν ἐστιν ὥσπερ τι μέγεθος, κατὰ τὴν τοῦ Πλάτωνος θέσιν, καὶ εἰ καὶ τὸ εἴδει ἀδιαίρετον ἔχει τινὰ διαίρεσιν ἐν τοῖς μέρεσιν, ὅμως ἐκεῖνα τὰ διῃρημένα νοεῖ κατὰ συμβεβηκός, οὐ καθόσον εἰσὶ διαιρετὰ καὶ ἐκ τοῦ μέρους τοῦ νοουμένου καὶ ἐκ τοῦ μέρους τοῦ χρόνου, ἀλλὰ καθόσον εἰσὶν ἀδιαίρετα, διότι καὶ ἐν τοῖς διῃρημένοις ἐνεργείᾳ μέρεσιν ἔστι τι ἀδιαίρετον, δηλονότι αὐτὸ τὸ εἶδος, ὅπερ ὁ νοῦς ἀδιαιρέτως νοεῖ. Καὶ ἐὰν νοήσῃ τὰ μέρη ὡς διῃρημένα, οἷον σάρκα καθαυτήν, ὀστοῦν καθαυτό, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, τότε νοήσειεν ἂν ἐν χρόνῳ διαιρετῷ. Βούλεται δὲ ὁ Φιλόσοφος ἑπομένως δεῖξαι τὴν ὁμοιότητα τοῦ δευτέρου τούτου πρὸς τὸν πρότερον τρόπον. Ὥσπερ γὰρ ἐν τούτῳ τῷ τρόπῳ ἔστι τι ἀδιαίρετον, δηλονότι τὸ εἶδος, ὃ ποιεῖ πάντα τὰ μέρη τοῦ ὅλου εἶναι ἕν, οὕτως ἴσως καὶ ἐν τοῖς συνεχέσιν ἔστι τι ἀχώριστον, τουτέστιν ἀδιαίρετον, ὃ ποιεῖ τὸν χρόνον εἶναι ἕνα καὶ τὸ μῆκος ἕν, εἴτε λέγοιτο τοῦτο | εἶναι ἡ στιγμὴ ἐν τῷ μεγέθει καὶ τὸ ἀκαριαῖον ἐν τῷ f. 338 χρόνῳ, εἴτε αὐτὸ τὸ εἶδος τοῦ μήκους, ἢ τοῦ χρόνου. Ἀλλ' ἐν τούτῳ διαφέρει, ὅτι τοῦτο τὸ ἀδιαίρετον ἐστὶν ὁμοίως ἐν παντὶ συνεχεῖ καὶ χρόνῳ καὶ μήκει, ἀλλὰ τὸ ἀδιαίρετον, ὅπερ ἐστὶ τὸ εἶδος, οὐκ ἔστιν ὁμοίως ἐν πᾶσι τοῖς ἔχουσι τὸ εἶδος, διότι τινὰ σύγκεινται ἐκ μερῶν

---

11 *ἀλλὰ κατά τι* om B   16 *τρόπον* avant *ἓν* om B   22 *εἴδει* om B

ΙΩΑΝΝΙΝΑ 2006

ὁμοιογενῶν, τινὰ δὲ ἐκ μερῶν ἑτερογενῶν, καὶ ἐκ τούτων αὖ διαφόρως καὶ ἀνομοίως.

Ἐφεξῆς λέγων· Ἡ δὲ στιγμή, ἐπεξεργάζεται τὸν περὶ τοῦ ἀδιαιρέτου λόγον κατὰ τὸν τρίτον τρόπον. Λέγεται γὰρ ἕτερον τρόπον ἕν, ὅπερ ἐστὶ παντάπασιν ἀδιαίρετον, οἷον ἡ στιγμὴ καὶ ἡ μονάς, καὶ περὶ τούτου δείκνυσι νῦν πῶς ἂν νοοῖτο, λέγων ὅτι ἡ στιγμή, ἥτις ἐστὶ σημεῖόν τι διαιρέσεως ἐν τοῖς μέρεσι τῆς γραμμῆς, καὶ πᾶν ὅπερ ἐστὶ διαίρεσις ἐν τοῖς μέρεσι τοῦ συνεχοῦς, ὥσπερ τὸ ἀκαριαῖον ἐν τοῖς μέρεσι τοῦ χρόνου, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, καὶ πᾶν ὅπερ ἐστὶν οὕτως ἀδιαίρετον ἐνεργείᾳ καὶ δυνάμει, ὡς ἡ στιγμή, δηλοῦται, τουτέστι φανεροῦται, τῷ νῷ ὥσπερ στέρησις, τουτέστι διὰ τῆς στερήσεως τοῦ συνεχοῦς καὶ διαιρετοῦ. Καὶ τούτου αἰτία ἐστίν, ὅτι ὁ ἡμέτερος νοῦς ἐκ τῆς αἰσθήσεως λαμβάνει, κἀντεῦθεν ἐκεῖνα πρότερον πίπτουσιν ἐν τῇ καταλήψει τοῦ νοῦ ἅπερ εἰσὶν αἰσθητά, τοιαῦτα δέ εἰσι τὰ μέγεθος ἔχοντα· ὅθεν ἡ στιγμὴ καὶ ἡ μονὰς οὐχ ὁρίζονται εἰ μὴ ἀποφατικῶς. Κἀντεῦθεν ἐστίν, ὅτι καὶ πάντα τὰ ὑπερβαίνοντα ταῦτα, τὰ ἡμῖν γνώριμα αἰσθητά, οὐ γινώσκονται παρ' ἡμῶν εἰ μὴ δι' ἀποφάσεως, ὥσπερ περὶ τῶν χωριστῶν οὐσιῶν γινώσκομεν ὅτι ἄϋλοι εἰσὶ καὶ ἀσώματοι καὶ τὰ τοιαῦτα. Ὁ δὲ αὐτὸς λόγος ἐστὶ καὶ περὶ τῶν ἄλλων τῶν διὰ τοῦ ἀντικειμένου γινωσκομένων, οἷον πῶς γινώσκει ὁ νοῦς τὸ κακόν, ἢ τὸ μέλαν, ἅπερ ἔχουσι πρὸς τὰ ἀντικείμενα αὐτοῖς ὥσπερ στερήσεις· ἀεὶ γὰρ θάτερον τῶν ἐναντίων ἐστὶν ὡς ἀτελές τι καὶ στέρησις πρὸς τὸ λοιπόν. Καὶ ἐπάγει ὥσπερ ἀποκρινόμενος, ὅτι ὁ νοῦς γινώσκει ἑκάτερον αὐτῶν τρόπῳ τινὶ διὰ τοῦ ἀντικειμένου αὐτῷ, οἷον τὸ κακὸν διὰ τοῦ ἀγαθοῦ, καὶ τὸ μέλαν διὰ τοῦ λευκοῦ. Δεῖ δὲ τὸν νοῦν, τὸν γινώσκοντα θάτερον τῶν ἐναντίων διὰ τοῦ λοιποῦ, εἶναι δυνάμει γινώσκοντα καὶ εἶναι ἐν αὐτῷ τὸ εἶδος τοῦ ἑτέρου τῶν ἀντικειμένων, δι' οὗ τὸ λοιπὸν γινώσκει οὕτως, ὥστε ποτὲ μὲν ἐν αὐτῷ τὸ τοῦ λευκοῦ εἶδος εἶναι, ποτὲ δὲ τὸ εἶδος τοῦ μέλανος, ὡς ἂν διὰ τοῦ ἑνὸς γινώσκειν δύναιτο τὸ λοιπόν. Εἰ δέ τις ἔστι νοῦς ᾧ μὴ ἔνεστι θάτερον τῶν ἐναντίων πρὸς τὴν τοῦ λοιποῦ γνῶσιν, τὸν τοιοῦτον νοῦν δεῖ γινώσκειν ἑαυτὸν πρώτως, δι' ἑαυτοῦ δὲ καὶ τὰ ἄλλα γινώσκειν, καὶ εἶναι τοῦτον ἀεὶ ἐνεργείᾳ, καὶ εἶναι πάντη χωριστόν, εἴτουν κεχωρισμένον ἀπὸ τῆς ὕλης καὶ κατὰ τὸ εἶναι, ὡς περὶ τοῦ θείου νοῦ δέδεικται ἐν τῷ ἑνδεκάτῳ τῶν μετὰ τὰ φυσικά.

Ἐφεξῆς λέγων· Ἔστι δὲ ἡ μὲν φάσις, διορίζεται περὶ τῆς δευτέρας ἐνεργείας τοῦ νοῦ, ἥτις ἐστὶν ἡ σύνθεσις καὶ διαίρεσις, καὶ φησὶν ὅτι ἡ φάσις, ᾗ λέγει ὁ νοῦς τι κατά τινος, ὥσπερ συμβαίνει ἐπὶ τῆς καταφάσεως, ἀεὶ ἐστὶν ἀληθής, ἢ ψευδής. Ἀλλ' ὁ νοῦς οὐκ ἔστιν ἀληθής, ἢ ψευδὴς ἀεί, διότι ἐστὶ νοῦς τις τῶν ἀσυμπλέκτων, ὃς οὔτε ἀληθὴς

---

29 *μὴ ἔστι* B  33 *τῷ ἑνδεκάτῳ*: *duodecimo*, lat.

ἐστιν, οὔτε ψευδὴς ὅσον πρὸς τὸ νοούμενον· ἡ γὰρ ἀλήθεια καὶ τὸ ψεῦδος ἐν τῇ ἑνὸς πρὸς ἕτερον συνίσταται παραθέσει, ἥτις ἐστὶν ἐν τῇ συνθέσει, ἢ τῇ διαιρέσει τοῦ νοῦ, οὐκ ἐν τῷ ἀσυμπλέκτῳ νοητῷ. Ἀλλ' εἰ καὶ αὐτὸ τὸ ἀσύμπλεκτον νοητὸν οὐκ ἔστιν οὔτε ἀληθές, οὔτε ψευδές, ὅμως ὁ νοῦς ἐν τῷ νοεῖν ἀληθής ἐστιν, ἐφόσον ἐξισοῦται ἢ προσφύεται τῷ νοουμένῳ πράγματι. Καὶ διὰ τοῦτο ἐπάγει, ὅτι ὁ νοῦς ὁ τοῦ τί ἐστι κατὰ τὸ τί ἦν εἶναι, τουτέστι καθὸ νοεῖ τί ἐστι τὸ πρᾶγμα, ἀληθής ἐστιν ἀεί, καὶ οὐ καθὸ νοεῖ τι κατά τινος. Καὶ τούτου τὸν λόγον ἀποδίδωσι, διότι τὸ τί ἐστιν ἀντικείμενον ἴδιόν ἐστι τοῦ νοῦ. Ὅθεν ὥσπερ ἡ ὄψις οὐδέποτε ἀπατᾶται ἐν τῷ ἰδίῳ ἀντικειμένῳ, οὕτως οὐδὲ ὁ νοῦς ἐν τῷ γινώσκειν τὸ τί ἐστιν· ὅθεν ὁ νοῦς οὐδέποτε ἀπατᾶται ἐν τῷ γινώσκειν τί ἐστιν ἄνθρωπος. Ἀλλ' ὥσπερ ἡ ὄψις οὐκ ἀεί ἐστιν ἀληθὴς ἐν τῷ κρίνειν περὶ τῶν συνημμένων τῷ ἰδίῳ ἀντικειμένῳ, οἷον εἰ τὸ λευκόν ἐστιν ἄνθρωπος, ἢ μή, οὕτως οὐδὲ ὁ νοῦς ἐστὶν ἀληθὴς ἀεὶ ἐν τῷ συντιθέναι τί τινι. Οὕτω δὲ ἔχουσιν ἐν τῷ νοεῖν αἱ χωρισταὶ οὐσίαι, αἳ παντάπασιν εἰσὶν ἄνευ ὕλης, ὥσπερ ὅταν ἡμεῖς νοῶμεν τὸ τί ἐστι, καὶ διὰ τοῦτο ἐν τῷ ἐκείνων νῷ οὐκ ἐνδέχεται εἶναι ψεῦδος.

Ἰστέον μέντοι, ὅτι ἐν τῷ γινώσκειν τὸ τί ἐστιν ἐνδέχεται εἶναι ἀπάτην διχῶς κατὰ συμβεβηκὸς τῷ λόγῳ τῆς ἐπεισιούσης συνθέσεως· ἕνα μὲν τρόπον, ὥσπερ ὁ ἑνὸς πράγματος ὁρισμός ἐστι | ψευδὴς πρὸς ἄλλο πρᾶγμα, f. 338v
ὥσπερ ὁ τοῦ κύκλου ὁρισμός ἐστι ψευδὴς πρὸς τὸ τρίγωνον· ἄλλον δὲ τρόπον, ὥσπερ ὁπόταν τὰ μέρη τοῦ ὁρισμοῦ μὴ ἐφαρμόζωσιν ἀλλήλοις, καὶ τότε ὁ ὁρισμός ἐστι ψευδὴς ἁπλῶς, ὥσπερ ἐάν τις θῇ ἐν τῷ τινὸς ὁρισμῷ τὸ αἰσθητικὸν ζῷον. Ὅθεν ἐπ' ἐκείνων, ὧν ἐν τοῖς ὁρισμοῖς οὐδεμία ἐστὶ σύνθεσις, οὐκ ἐνδέχεται εἶναι ἀπάτην, ἀλλὰ δεῖ ταῦτα ἢ ἀληθῶς νοεῖν, ἢ οὐδενὶ τρόπῳ, ὡς ἐν τῷ ἐνάτῳ τῶν μετὰ τὰ φυσικά.

Ἐφεξῆς λέγων· Τὸ αὐτὸ δέ ἐστιν, ἐπαναλαμβάνει τι προειρημένον περὶ τοῦ κατ' ἐνέργειαν νοῦ διὰ τὸ καὶ νῦν περὶ τῆς ἐνεργείας διειλέχθαι τοῦ νοῦ, καὶ φησὶν ὅτι ἡ κατ' ἐνέργειαν ἐπιστήμη ἐστὶ τὸ αὐτὸ τῷ κατ' ἐνέργειαν ἐπιστητῷ, καὶ ὅτι ἡ κατὰ δύναμιν ἐπιστήμη ἐστὶν ἐν ἑνὶ καὶ τῷ αὐτῷ χρόνῳ προτέρα, ἀλλὰ καθόλου οὐδὲ χρόνῳ προτέρα ἐστί, διότι πάντα τὰ εἰς ἐνέργειαν προαγόμενα γίνονται ἐκ τοῦ ἐνεργείᾳ ὄντος, καὶ τοῦτο ἀνωτέρω τῆς πρεπούσης ἐξηγήσεως ἔτυχεν.

## Leçon XII.

Φαίνεται δὲ τὸ μὲν αἰσθητήριον ἐκ δυνάμει ὄντος. Διορισάμενος ὁ Φιλόσοφος περὶ τοῦ νοῦ καθ' αὐτόν, νῦν διορίζεται περὶ αὐτοῦ ἐν τῇ πρὸς τὴν αἴσθησιν παραθέσει, καὶ περὶ τοῦτο δύο ποιεῖ·

19 *ἐπιούσης* B  31 *χρόνῳ* om B  36 *ἐκ δυνάμει ὄντος* om B

Ε.Υ.Δ της Σ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

πρῶτον, δείκνυσι ποταπή τις ἂν εἴη ἡ κίνησις τῆς αἰσθήσεως· δεύτερον, ἀφομοιοῖ τὴν τοῦ νοῦ κίνησιν τῇ κινήσει τῆς αἰσθήσεως, ἐν τῷ· Αἰσθάνεσθαι μὲν οὖν. Φησὶ τοίνυν, πρῶτον, ὅτι τὸ αἰσθητὸν δοκεῖ εἶναι ἐνεργείᾳ ποιοῦν τὴν αἰσθητικὴν μοῖραν ἐκ τοῦ δυνάμει αὐτὴν εἶναι. Οὐδὲ γὰρ οὕτω δρᾷ τὸ αἰσθητὸν εἰς τὴν αἴσθησιν, ὥσπερ τὸ ἐναντίον εἰς τὸ ἑαυτῷ ἐναντίον, ὥστε τι ἐκβαλεῖν ἀπ' αὐτοῦ ἐν τῷ μεταβάλλειν καὶ ἀλλοιοῦν αὐτό, ἀλλὰ μόνον ἄγει αὐτὸ ἐκ δυνάμεως εἰς ἐνέργειαν. Καὶ τοῦτ' ἔστιν ὅπερ ἐπάγει, ὅτι τὸ αἰσθητικὸν οὔτε πάσχει, οὔτε ἀλλοιοῦται ὑπὸ τοῦ αἰσθητοῦ, τοῦ πάθους καὶ τῆς ἀλλοιώσεως κυρίως λαμβανομένων, καθὸ δηλονότι ἐστὶν ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον. Καὶ διότι ἡ ἐν τοῖς σωματικοῖς πράγμασιν οὖσα κίνησις, περὶ ἧς διώρισται ἐν τῷ βιβλίῳ τῶν φυσικῶν, ἔστιν ἐκ τοῦ ἐναντίου εἰς τοὐναντίον, φανερόν ἐστιν ὅτι τὸ αἰσθάνεσθαι, εἰ λέγοιτο κίνησις, ἔστιν ἄλλο εἶδος κινήσεως παρὰ τὸ διωρισμένον ἐν τῷ βιβλίῳ τῶν φυσικῶν. Ἐκείνη γὰρ ἡ κίνησις ἐστὶν ἐντελέχεια τοῦ δυνάμει ὄντος, ἐπειδὴ δηλονότι ἀποχωροῦν τοῦ ἑτέρου τῶν ἐναντίων, ἐφόσον ἤδη κινεῖται, οὐκ ἀφικνεῖταί πως πρὸς θάτερον τῶν ἐναντίων, ὅπερ ἐστὶν ὁ τῆς κινήσεως ὅρος, ἀλλ' ἐν δυνάμει ἐστὶ πρὸς αὐτό. Καὶ διότι πᾶν τὸ ἐν δυνάμει, ᾗ τοιοῦτον, ἐστὶν ἀτελές, διὰ τοῦτο καὶ ἡ κίνησις ἐκείνη ἐστὶν ἐντελέχεια τοῦ ἀτελοῦς. Ἀλλ' αὕτη ἡ κίνησις ἐστὶν ἐνέργεια τοῦ τελείου· ἔστι γὰρ ἐνέργεια τῆς αἰσθήσεως ἤδη γεγενημένης ἐνεργείᾳ διὰ τοῦ εἴδους αὐτῆς· οὐδὲ γὰρ ἐνδέχεται αἰσθάνεσθαι τὴν αἴσθησιν εἰ μὴ ἐνεργείᾳ οὖσαν. Καὶ διὰ τοῦτο ἐστὶ κίνησις αὕτη ἁπλῶς ἑτέρα παρὰ τὴν κίνησιν τοῦ φυσικοῦ· καὶ ἡ τοιαύτη κίνησις λέγεται κυρίως ἐνέργεια, ὡς τὸ αἰσθάνεσθαι, τὸ νοεῖν, τὸ θέλειν. Καὶ κατὰ ταύτην τὴν κίνησιν ἡ ψυχὴ κινεῖ ἑαυτήν, κατὰ τὸν Πλάτωνα, καθόσον γινώσκει καὶ ἀγαπᾷ ἑαυτήν.

Μετὰ ταῦτα λέγων· Τὸ μὲν οὖν αἰσθάνεσθαι, ἐξομοιοῖ τὴν κίνησιν τοῦ νοῦ τῇ κινήσει τῆς αἰσθήσεως, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσι πῶς προχωρεῖ ἡ κίνησις ἐν τῇ αἰσθήσει· δεύτερον, ὅτι ὁμοίως προχωρεῖ καὶ ἐν τῷ νῷ, ἐν τῷ· Τῇ δὲ διανοητικῇ. Λέγει τοίνυν, πρῶτον, ὡς ἐπεὶ τὸ αἰσθητὸν ἄγει τὸ αἰσθητικὸν εἰς ἐνέργειαν χωρὶς πάθους καὶ ἀλλοιώσεως, ὡς καὶ περὶ τοῦ νοῦ προείρηται, φανερόν ἐστιν ἐκ τῶν εἰρημένων ὅτι αὐτὸ τὸ αἰσθάνεσθαι ὅμοιον ἐστὶ τῷ νοεῖν, οὕτω μέντοι γε ὥσθ' ὁπόταν ᾖ μόνον τὸ αἰσθάνεσθαι, τουτέστιν ἀντιλαμβάνεσθαι καὶ κρίνειν κατὰ τὴν αἴσθησιν, τοῦτ' ἔστιν ὅμοιον τῷ φάναι μόνον καὶ νοεῖν, ὅτε δηλονότι ὁ νοῦς κρίνει τι μόνον καὶ καταλαμβάνει· τοῦτο δέ ἐστι λέγειν, ὅτι ἡ ἁπλῶς ἀντίληψις καὶ κρίσις τῆς αἰσθήσεως ἀφομοιοῦται τῇ θεωρίᾳ τοῦ νοῦ. Ἀλλ' ὁπόταν ἡ αἴσθησις αἰσθάνηταί τι

---

4 *αἰσθητὴν* B *αὐτῆς* B 31 *ὡς*: *ὅτι* B

ἡδὺ εἶναι ἢ λυπηρόν, ὥσπερ καταφάσκουσα, ἢ ἀποφάσκουσα τοῦθ' ὅπερ τῇ αἰσθήσει καταλαμβάνεται εἶναι ἡδύ, ἢ λυπηρόν, τότε διώκει διὰ τῆς ὀρέξεως, τουτέστιν ἐπιθυμεῖ, ἢ φεύγει. Καὶ λέγει σεσημειωμένως, οἷον καταφάσκουσα ἢ ἀποφάσκουσα, διότι τὸ μορφῶσαι κατάφασιν ἢ ἀπόφασιν ἐστὶν ἴδιον τοῦ νοῦ, ὡς προείρηται. Ἀλλ' ἡ αἴσθησις ποιεῖ τι τούτῳ ὅμοιον, ὁπόταν δηλονότι καταλαμβάνῃ τι ὡς ἡδύ, ἢ λυπηρόν. Καὶ ὡς ἂν γνωσθῇ τί ἐστι τὸ | ἥδεσθαι καὶ λυπεῖσθαι, ἐπάγει ὅτι τὸ ἥδεσθαι καὶ λυπεῖσθαι f. 339 ἐστὶ τὸ ἐνεργεῖν τῇ αἰσθητικῇ μεσότητι, τουτέστιν ἐνέργειά τις τῆς αἰσθητικῆς δυνάμεως, ἥτις μεσότης λέγεται καθόσον ἡ κοινὴ αἴσθησις παραβάλλεται πρὸς τὰς ἰδίας αἰσθήσεις ὡς μέσον τι, ὥσπερ τὸ κέντρον παραβάλλεται πρὸς τὰς γραμμάς, αἵτινες περαίνουσιν εἰς αὐτό. Οὐ πᾶσα δὲ ἐνέργεια τῆς αἰσθητικῆς μοίρας ἐστὶ τὸ ἥδεσθαι ἢ λυπεῖσθαι, ἀλλ' ἥτις ἐστὶ πρὸς τὸ ἀγαθόν, ἢ τὸ κακόν, ᾗ τοιοῦτον. Τὸ γὰρ ἀγαθὸν τῆς αἰσθήσεως, ὅπερ ἐστὶ τὸ οἰκεῖον αὐτῇ, ποιεῖ τὴν ἡδονήν· τὸ δὲ κακόν, ὅπερ ἐστὶ τὸ μαχόμενον καὶ βλαπτικόν, ποιεῖ τὴν λύπην. Καὶ ἐκ τοῦ ἥδεσθαι, ἢ λυπεῖσθαι ἕπεται ἡ φυγὴ καὶ ἡ δίωξις ἢ ὄρεξις, τουτέστιν ἡ ἐπιθυμία ἡ κατ' ἐνέργειαν. Δῆλον τοίνυν ἐστίν, ὅτι ἡ κίνησις τοῦ αἰσθητοῦ εἰς τὴν αἴσθησιν προχωρεῖ ὥσπερ τριπλῷ βαθμῷ. Πρῶτον μὲν γὰρ καταλαμβάνει αὐτὸ τὸ αἰσθητὸν ὡς οἰκεῖον, ἢ βλαπτικόν· δεύτερον, ἐκ τούτου ἕπεται ἡδονή, ἢ λύπη· τρίτον, ἐπιθυμία, ἢ φυγὴ ἕπεται. Εἰ γοῦν καὶ τὸ καταλαμβάνειν, ἢ ὀρέγεσθαι, ἢ αἰσθάνεσθαι διάφοροί εἰσιν ἐνέργειαι, ὅμως ἡ ἀρχὴ αὐτῶν ἡ αὐτή ἐστι τῷ ὑποκειμένῳ, ἀλλὰ τῷ λόγῳ διαφέρει. Καὶ τοῦτ' ἔστιν ὅπερ ἐπάγει, ὅτι τὸ ὀρεκτικὸν καὶ φευκτικόν, τουτέστι τὸ μέρος τῆς ψυχῆς τὸ φεῦγον καὶ ἐπιθυμοῦν, οὐκ εἰσὶν ἕτερα τῷ ὑποκειμένῳ οὔτε ἀλλήλων, οὔτε τοῦ αἰσθητικοῦ μέρους, ἀλλὰ τὸ εἶναι αὐτῶν ἄλλο ἐστί, τουτέστι τῷ λόγῳ διαφέρουσιν. Καὶ τοῦτο λέγει κατὰ τοῦ Πλάτωνος, ὃς ἐν ἄλλῳ μέρει τοῦ σώματος τὸ ὀρεκτικὸν ἐτίθει, καὶ ἐν ἄλλῳ τὸ ὄργανον τοῦ αἰσθητικοῦ.

Ἐφεξῆς λέγων· Τῇ δὲ διανοητικῇ, ἀφομοιοῖ τὴν πρόοδον τῆς κινήσεως τοῦ νοητοῦ πρὸς τὸν νοῦν ὅσον πρὸς τοῦτο, ὅπερ προσεχῶς ἐλέγετο περὶ τῆς κινήσεως. Καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσι πῶς ὁ νοῦς ἔχει περὶ τὰ αἰσθητά· δεύτερον, πῶς ἔχει περὶ τὰ ἀπὸ τῶν αἰσθητῶν κεχωρισμένα, ἐν τῷ· Τὰ δ' ἐν ἀφαιρέσει. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, δείκνυσι πῶς ὁ νοῦς ἔχει περὶ τὰ αἰσθητὰ ἐν τοῖς πρακτέοις· δεύτερον, ἐξομοιοῖ τὸν πρακτικὸν νοῦν τῷ θεωρητικῷ, ἐν τῷ· Καὶ ὅλων ἐν πράξει. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, ἐξομοιοῖ τὴν πρόοδον τοῦ νοῦ τῇ προόδῳ τῆς αἰσθήσεως· δεύτερον, φανεροῖ τὴν ὁμοιότητα, ἐν τῷ· Ὥσπερ δὲ ὁ ἀήρ. Λέγει τοίνυν, πρῶτον, ὅτι τὰ

17-18 *εἰς τὴν αἴσθησιν* om B 37 *αὐτὴν* avant *τὴν* (2°) add B

Ε.Υ.Δ της ΚΠΙ ΙΩΑΝΝΙΝΑ 2006

φαντάσματα ἔχουσι πρὸς τὴν νοερὰν τῆς ψυχῆς μοῖραν ὡς τὰ αἰσθητὰ προς τὴν αἴσθησιν. Ὅθεν, ὥσπερ ἡ αἴσθησις κινεῖται ὑπὸ τῶν αἰσθητῶν, οὕτω καὶ ὁ νοῦς ὑπὸ τῶν φαντασμάτων. Καὶ ὥσπερ ἡ αἴσθησις, ὅταν καταλαμβάνῃ τι οἷον ἡδύ, ἢ λυπηρόν, διώκει, ἢ φεύγει, οὕτω καὶ ὁ νοῦς, ὅταν καταλαμβάνῃ τι καταφάσκων, ἢ ἀποφάσκων εἶναι ἢ ἀγαθόν, ἢ κακόν, φεύγει, ἢ διώκει. Ἐκ τούτου δὲ τοῦ λεκτικοῦ τρόπου τοῦ Ἀριστοτέλους διπλῆν τινὰ δεῖ κατανοεῖν διαφορὰν μεταξὺ τοῦ νοῦ καὶ τῆς αἰσθήσεως. Ἐν γὰρ τῇ αἰσθήσει τρία ἦσαν. Ἐκ γὰρ τῆς καταλήψεως τοῦ ἀγαθοῦ, ἢ τοῦ κακοῦ οὐκ αὐτίκα ἠκολούθει ἐπιθυμία, ἢ φυγή, ὡς ἐνταῦθα περὶ τὸν νοῦν, ἀλλ' ἠκολούθει ἡδονὴ καὶ λύπη, καὶ μετὰ ταῦτα ἐπιθυμία καὶ φυγή· τούτου δ' αἰτία ἐστίν, ὅτι ὥσπερ ἡ αἴσθησις οὐ καταλαμβάνει τὸ ἀγαθὸν τὸ καθόλου, οὕτως ἡ ὄρεξις τοῦ αἰσθητικοῦ μέρους οὐ κινεῖται ὑπὸ τοῦ καθόλου ἀγαθοῦ, ἀλλ' ὑπό τινος διωρισμένου ἀγαθοῦ, ὅπερ ἐστὶ τὸ κατ' αἴσθησιν ἡδύ, καὶ ὑπό τινος διωρισμένου κακοῦ, ὅπερ ἐστὶ τὸ κατ' αἴσθησιν λυπηρόν. Ἐν δὲ τῷ νοερῷ μέρει ἐστὶν ἡ ἀντίληψις τοῦ ἀγαθοῦ, ἢ τοῦ κακοῦ καθόλου. Ὅθεν καὶ ἡ ὄρεξις τοῦ νοητικοῦ μέρους αὐτίκα κινεῖται ὑπὸ τοῦ καθόλου ἀγαθοῦ καὶ κακοῦ τοῦ κατειλημμένου. Δευτέρα δὲ διαφορά ἐστιν, ὅτι περὶ μὲν τοῦ νοῦ φησὶν ἁπλῶς, ὅτι καταφάσκει, ἢ ἀποφάσκει, ἀλλὰ περὶ τῆς αἰσθήσεως, ὅτι ὥσπερ καταφάσκει, ἢ ἀποφάσκει. Καὶ τούτου ἡ αἰτία ἐκ τῶν προειρημένων ἐστὶ δήλη. Ἐκ δὲ τοῦ προσεχῶς εἰρημένου συμπεραίνει περαιτέρω, εἰ τὰ φαντάσματα πρὸς τὴν νοερὰν ψυχὴν ἔχουσιν ὡς τὸ αἰσθητὸν πρὸς τὴν αἴσθησιν, ὥσπερ ἀδύνατον αἰσθάνεσθαι τὴν αἴσθησιν ἄνευ τῶν αἰσθητῶν, οὕτω καὶ τὴν ψυχὴν ἀδύνατον νοεῖν ἄνευ τῶν φαντασμάτων.

Ἐφεξῆς λέγων· Ὥσπερ δὲ ὁ ἀήρ, φανεροῖ τὴν τεθεῖσαν ὁμοιότητα, καὶ πρῶτον ὅσον πρὸς τὸ τὰ φαντάσματα εἶναι ὥσπερ αἰσθητὰ τῇ διανοητικῇ ψυχῇ· δεύτερον, ὅσον πρὸς τὸ φεύγειν καὶ διώκειν αὐτὴν τῷ τἀγαθὸν ἢ τὸ κακὸν καταφάσκειν, ἢ ἀποφάσκειν, ἐν τῷ· Τὰ μὲν οὖν εἴδη. Φησὶ τοίνυν, πρῶτον, ὅτι ὁ ἀὴρ μεταβαλλόμενος ὑπὸ τοῦ χρώματος ποιεῖ τὴν κόρην τοιανδί, τουτέστι ποιάν τινα ἀπεργάζεται, ἐντυποῦσα ταύτῃ τὸ τοῦ
f. 339v χρώματος εἶδος, | καὶ αὐτὴ ἡ κόρη οὕτω μεταβληθεῖσα μεταβάλλει ἕτερον, δηλονότι τὴν κοινὴν αἴσθησιν· ὡσαύτως δὲ καὶ ἡ ἀκοή, ἀλλοιωθεῖσα ὑπὸ τοῦ ἀέρος, τὴν κοινὴν αἴσθησιν ἀλλοιοῖ. Εἰ γοῦν καὶ πλείους εἰσὶν αἱ ἐξωτερικαὶ αἰσθήσεις, ὅμως τὸ ἔσχατον, πρὸς ὃ δηλονότι περαίνουσι καὶ ὁρίζονται αἱ τούτων τῶν αἰσθήσεων ἀλλοιώσεις, ἕν ἐστιν, καὶ ὥσπερ μεσότης τίς ἐστι μία ἐν ἁπάσαις ταῖς αἰσθήσεσιν, ὥσπερ κέντρον, πρὸς ὃ πᾶσαι συντείνουσιν αἱ γραμμαί. Εἰ δὲ καὶ ἕν ἐστι τῷ ὑποκειμένῳ τὸ πασῶν τῶν αἰσθήσεων μέσον ἐκεῖνο, ὅμως τὸ εἶναι αὐτῷ πλείω εἰσί, τουτέστιν

---

9 *τοῦ* avant *κακοῦ* om B

Ε.Υ.Δ της Κ.Τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

ὁ λόγος αὐτοῦ ποικίλλεται καθὸ πρὸς διαφόρους αἰσθήσεις παραβάλλεται. Καὶ τοῦτ' ἔστιν ᾧ διακρίνει ἡ ψυχὴ τί διαφέρει τὸ γλυκὺ καὶ θερμόν, περὶ οὗ εἴρηται πρότερον, ὅτε περὶ τῆς κοινῆς αἰσθήσεως καθαυτὴν ἐπραγματευόμεθα. Ἀλλὰ καὶ νῦν ῥητέον ἐστὶ περὶ αὐτοῦ κατὰ τὴν πρὸς τὸν νοῦν παράθεσιν, ὅτι ἕν τι ἐστι τῇ πάντων τῶν αἰσθητῶν ἀποβλέψει. Ὥσπερ οὖν ὅλον τοῦτ' ἔστιν, ὅπερ εἴπομεν, οὕτω καὶ ὁ νοῦς ἐστὶν ὅρος πάντων τῶν φαντασμάτων. Καὶ ὥσπερ ἐκεῖθεν πλείω ἦσαν τὰ διακρινόμενα ὑφ' ἑνός, οὕτω καὶ ἐνταῦθα, τουτέστιν ἐπὶ τοῦ νοῦ, ἔχει τῷ ἀνάλογον, τουτέστιν ἀναλόγως ἀνταποκρίνεται τῷ ἑνὶ τῷ διακρίνοντι περὶ τῶν αἰσθητῶν, ἢ ἔχει καὶ ὁμοιότητα ὅσον πρὸς τὸν ἀριθμὸν τῶν κρινομένων, ἤγουν ὁ ὅρος οὗτος, ὅστις ἐστὶν ὁ νοῦς ἕν τι ὤν, ἔχει πρὸς ἑκάτερον τῶν ὑπ' αὐτοῦ κρινομένων, ὥσπερ ἐκεῖνα εἶχον πρὸς ἄλληλα, ἤγουν ὥσπερ εἶχεν ἡ μία κοινὴ αἴσθησις πρὸς τὰ διάφορα αἰσθητά, ἐν οἷς διέκρινεν. Καὶ οὐδὲν διαφέρει, ἂν παραδείγματος χάριν λάβωμεν ἢ τὰ ἀνομογενῆ, τουτέστι τὰ διάφορα καὶ μὴ ὑπὸ τὸ αὐτὸ γένος τυγχάνοντα αἰσθητά, οἷον λευκόν, ὅπερ ἐστὶν ἐν τῷ γένει τοῦ χρώματος, καὶ γλυκύ, ὅπερ ἐστὶν ἐν τῷ γένει τοῦ χυμοῦ, ἐν οἷς ἡ κοινὴ κρίνει αἴσθησις, ἢ τὰ ἐναντία, οἷον τὸ λευκὸν καὶ τὸ μέλαν, ὁμογενῆ ὄντα, διότι ἐν ἑκατέροις τούτων ἡ κοινὴ αἴσθησις διακρίνει. Λάβωμεν οὖν τὸ α' ἀντὶ τοῦ λευκοῦ, καὶ τὸ β' ἀντὶ τοῦ μέλανος, καὶ ἐχέτω ὡς τὸ α' λευκὸν πρὸς τὸ β' μέλαν, οὕτω καὶ τὸ γ' πρὸς τὸ δ', τουτέστιν οὕτω καὶ τὸ φάντασμα τοῦ λευκοῦ πρὸς τὸ φάντασμα τοῦ μέλανος· ὅθεν καὶ κατὰ τὴν ἐναλλὰξ ἀναλογίαν, τὸ α' ἔχει πρὸς τὸ γ', ὡς τὸ β' πρὸς τὸ δ', τουτέστι τὸ λευκὸν πρὸς τὸ φάντασμα τοῦ λευκοῦ, ὡς τὸ μέλαν πρὸς τὸ φάντασμα τοῦ μέλανος. Καὶ τοῦτον τὸν τρόπον οὕτως ἔχει ὁ νοῦς πρὸς τὸ γ' καὶ τὸ δ', ἤγουν πρὸς τὸ φάντασμα τοῦ λευκοῦ καὶ τοῦ μέλανος, ὡς ἔχει ἡ αἴσθησις πρὸς τὸ α' καὶ τὸ β', τουτέστι πρὸς τὸ λευκὸν καὶ τὸ μέλαν. Εἰ τοίνυν τὰ γ' δ', τουτέστι τὰ φαντάσματα τοῦ λευκοῦ καὶ τοῦ μέλανος, εἴη ὑπάρχοντα ἑνί, τουτέστι διακρίνοιντο ὑφ' ἑνὸς νοῦ, οὕτως ἕξουσιν ὡς τὸ α' καὶ τὸ β', τουτέστιν ὡς τὸ α' καὶ τὸ β' ἐκρίνοντο ὑπὸ μιᾶς αἰσθήσεως, οὕτως ὥστε τὴν ταῦτα κρίνουσαν αἴσθησιν εἶναι ἐν τῷ ὑποκειμένῳ, διαφέρουσαν δὲ τῷ λόγῳ. Ὡσαύτως ἔσται καὶ ἐπὶ τοῦ νοῦ. Καὶ ὁ αὐτὸς λόγος ἐστίν, ἐὰν λάβωμεν τὰ ἀνομογενῆ, τουτέστιν εἰ τὸ α' εἴη γλυκύ, τὸ δὲ β' λευκόν.

Ἐφεξῆς λέγων· Τὰ μὲν οὖν εἴδη, φανεροῖ τὸ προειρημένον ὅτι, ὁπόταν ὁ νοῦς καταφάσκῃ, ἢ ἀποφάσκῃ τὸ ἀγαθόν, ἢ κακόν, φεύγει ἢ διώκει, συμπεραίνων ἐκ τῶν προειρημένων, ὅτι τὸ νοητικὸν μέρος τῆς

---

6 ὅπερ: ὥσπερ B  15 Scholarios figure ici le rapport:

$$\frac{\alpha\ (\lambda\varepsilon\upsilon\kappa\acute{o}\nu)}{\gamma\ (\varphi\acute{\alpha}\nu\tau\alpha\sigma\mu\alpha\ \lambda\varepsilon\upsilon\kappa o\tilde{\upsilon})} = \frac{\beta\ (\mu\acute{\varepsilon}\lambda\alpha\nu)}{\delta\ (\varphi\acute{\alpha}\nu\tau\alpha\sigma\mu\alpha\ \mu\acute{\varepsilon}\lambda\alpha\nu o\varsigma)}$$

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ψυχῆς νοεῖ τὰ εἴδη ἐν τοῖς φαντάσμασι. Καὶ ὥσπερ τῷ νῷ ὥρισταί τι ζηλωτὸν καὶ φευκτὸν ἐν ἐκείνοις, τουτέστι τοῖς αἰσθητοῖς, ὅταν παρῶσιν, οὕτω καὶ κινεῖται πρὸς τὸ διώκειν, ἢ φεύγειν, ὅταν ᾖ ἐπὶ τῶν φαντασμάτων ἔξω τῆς αἰσθήσεως, τουτέστιν ὅταν παρῶσι τὰ φαντάσματα ἐν τῇ ἀπουσίᾳ τῶν αἰσθητῶν. Καὶ τίθησι παράδειγμα ἑκατέρου τῶν εἰρημένων. Καὶ πρῶτον, πότε κινεῖται πρὸς τὴν παρουσίαν τῶν αἰσθητῶν, ὥσπερ ὁ ἄνθρωπος αἰσθάνεται τινὸς φοβεροῦ καὶ φευκτοῦ, οἷον πῦρ ὁρῶν ἀναπτόμενον ἐν τῇ πόλει γνωρίζει τῇ κ ο ι ν ῇ, τουτέστι κοινῇ τινι δυνάμει κριτικῇ, ἢ κ ο ι ν ῇ, τουτέστιν ἐκ τοῦ κοινῇ συμβαίνειν εἰωθότος. Γνωρίζει τοίνυν, ὅπερ εἶπον, ὅτι μάχη ἐστὶ καὶ πολέμιος πάρεστι, καὶ οὕτω μὲν ὁ νοῦς κινεῖται ποτὲ πρὸς τὸ φεύγειν, ἢ διώκειν ἐκ τοῦ αἰσθητοῦ παρόντος· ἐνίοτε δὲ ἐκ τῶν φαντασμάτων, ἢ νοημάτων τῶν ἐν τῇ ψυχῇ, λογίζεται καὶ βουλεύεται τὰ μέλλοντα, ἢ τὰ παρόντα, ὥσπερ ἂν εἰ ταῦτα ἐνεργείᾳ ἑώρα· καὶ κρίνων τι λυπηρόν, ἢ ἡδύ, φεύγει τοῦτο, ἢ διώκει ὡς ἐκεῖ, τουτέστιν ὡς ὅταν ἐκινεῖτο ὑπὸ παρόντος τοῦ αἰσθητοῦ.

Ἐφεξῆς λέγων· *Κ α ὶ ὅ λ ω ς ἐ ν π ρ ά ξ ε ι*, παραβάλλει τὴν γνῶσιν τοῦ θεωρητικοῦ καὶ τοῦ πρακτικοῦ νοῦ λέγων ὅτι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, τουτέστιν ἡ ἀληθὴς καὶ ψευδὴς γνῶσις τοῦ νοῦ, ἐ ν τ ῇ π ρ ά ξ ε ι, τουτέστι καθὸ ἀνήκει πρὸς τὸν πρακτικὸν νοῦν, κ α ὶ χ ω ρ ὶ ς π ρ ά ξ ε ω ς, τουτέστι καθὸ ἀνήκει πρὸς τὸν θεωρητικὸν νοῦν, ἔστιν ἐν τῷ αὐτῷ γένει, εἴτε ἀγαθόν ἐστι τοῦτο τὸ γένος, εἴτε κακόν. Καὶ τοῦτο διχῶς δυνάμεθα
f. 340 νοεῖν· ἑνὶ μὲν τρόπῳ, ὅτι τὸ πρᾶγμα | τὸ νοηθὲν ἢ πρακτικῶς, ἢ θεωρητικῶς ποτὲ μέν ἐστιν ἀγαθόν, ποτὲ δὲ κακόν, οὐδὲ ποικίλλεται τὸ τοῦ πράγματος γένος διὰ τὸ θεωρεῖσθαι ἢ πρακτικῶς, ἢ θεωρητικῶς· ἑτέρῳ δὲ τρόπῳ, ὅτι αὐτὴ ἡ γνῶσις τοῦ νοῦ ἡ ἀληθής ἐστιν ἀγαθόν τι τοῦ νοῦ, εἴτε τοῦ θεωρητικοῦ, εἴτε τοῦ πρακτικοῦ. Οὐ τοίνυν βούλεται παραβάλλειν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος τῷ ἀγαθῷ καὶ κακῷ κατὰ τὴν τοῦ γένους συμφωνίαν καὶ κοινωνίαν, ἀλλὰ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ὅπερ ἐστὶν ἐν τῇ πράξει τῷ ἄνευ τῆς πράξεως ἀληθεῖ καὶ ψευδεῖ. Καὶ τοῦτο δῆλόν ἐστιν ἐκ τῆς διαφορᾶς, ἣν ἐπάγει λέγων, ὅτι διαφέρει τὸ ἐν τῇ πράξει καὶ τὸ χωρὶς τῆς πράξεως κατὰ τὸ πῇ καὶ τὸ ἁπλῶς. Ὁ γὰρ θεωρητικὸς νοῦς θεωρεῖ τι ἀληθές, ἢ ψευδὲς καθόλου, ὅπερ ἔστι τι ἁπλῶς θεωρεῖν· ὁ δὲ πρακτικὸς νοῦς ἐφαρμόζων τῷ μερικῷ πρακτῷ· ἡ γὰρ πρᾶξις ἐν τοῖς μερικοῖς ἐστιν.

Ἐφεξῆς λέγων· *Τ ὰ δ ὲ ἐ ν ἀ φ α ι ρ έ σ ε ι*, ἐπεὶ προείρηκεν ὅτι οὔτε χωρὶς φαντάσματος νοεῖ ἡ ψυχή, τὰ δὲ φαντάσματα ἐκ τῆς αἰσθήσεως λαμβάνονται, βούλεται νῦν δεῖξαι πῶς ὁ ἡμέτερος νοῦς νοεῖ τὰ ἐκ τῶν αἰσθήσεων λαμβανόμενα κεχωρισμένως, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον,

---

7 *ἁπτόμενον* B

Ε.Υ.Δ της κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

δείκνυσι πῶς νοεῖ τὰ μαθηματικὰ τὰ ἐκ τῆς αἰσθητῆς ὕλης ἀφαιρούμενα· δεύτερον, ζητεῖ πότερον νοεῖ ὁ νοῦς τὰ κεχωρισμένα τῆς ὕλης κατὰ τὸ εἶναι, ἐν τῷ· Πότερον δέ. Περὶ τὸ πρῶτον δεῖ θεωρεῖν, ὅτι τῶν ἐν τοῖς πράγμασι συνημμένων ἐνδέχεται θάτερον ἄνευ τοῦ λοιποῦ νοεῖσθαι καὶ ἀληθῶς, ἂν μόνον θάτερον αὐτῶν μὴ ᾖ ἐκ τοῦ λόγου τοῦ λοιποῦ. Ἂν γὰρ ὁ Σωκράτης μουσικὸς ᾖ καὶ λευκός, δύναμαι νοεῖν τὴν λευκότητα μηδὲν νοῶν περὶ τῆς μουσικῆς· οὐ δύναμαι δὲ νοεῖν τὸν ἄνθρωπον μὴ νοῶν περὶ τοῦ ζῴου, διότι τὸ ζῷον ἐν τῷ λόγῳ τοῦ ἀνθρώπου ἐστίν. Οὕτω τοίνυν, χωριζομένων κατὰ τὸν νοῦν τῶν κατὰ τὸ πρᾶγμα συνημμένων τῷ προειρημένῳ τρόπῳ, οὐ συμβαίνει ψεῦδος. Εἰ δὲ ὁ νοῦς χωρίζοι νοῶν τὰ συνημμένα ὡς κεχωρισμένα ὄντα, ψευδής ἐστιν, οἷον ὡς εἰ ἐν τῷ προρρηθέντι παραδείγματι λέγοιτο τὸ μουσικὸν μὴ εἶναι λευκόν. Τὰ δὲ ἐν ταῖς αἰσθήσεσιν ἀφαιρεῖ ὁ νοῦς, μὴ νοῶν μὲν αὐτὰ εἶναι κεχωρισμένα, ἀλλὰ χωρὶς καὶ ἰδίᾳ νοῶν αὐτά. Καὶ τοῦτ' ἔστιν ὅ φησιν, ὅτι ὁ νοῦς νοεῖ τὰ ἐν ἀφαιρέσει λεγόμενα, δηλονότι τὰ μαθηματικά, κατὰ τοῦτον τὸν τρόπον, ὥσπερ ὅταν νοῇ τὸ σιμὸν καθὸ σιμόν, οὐ νοεῖ τοῦτο κεχωρισμένον ἀπὸ τῆς αἰσθητῆς ὕλης διὰ τὸ τὴν αἰσθητὴν ὕλην, ἤγουν τὴν ῥίνα, ἐν τῷ ὁρισμῷ τοῦ σιμοῦ πίπτειν. Εἰ δὲ ὁ νοῦς νοεῖ τι ἐνεργείᾳ, καθό ἐστι κοῖλον, χωρὶς τῆς σαρκὸς ἂν νοοίη, ἐν ᾗ ἐστι τὸ κοῖλον, οὐχ οὕτω μὲν ὥστε νοεῖν τὸ κοῖλον εἶναι ἄνευ τῆς σαρκός, ἀλλ' ὥστε νοεῖν τὸ κοῖλον, μὴ νοοῦντα τὴν σάρκα, καὶ τοῦτο διὰ τὸ μὴ τίθεσθαι ἐν τῷ ὁρισμῷ τότε τοῦ κοίλου τὴν σάρκα. Καὶ οὕτως ὁ νοῦς νοεῖ πάντα τὰ μαθηματικὰ κεχωρισμένως ὡς εἰ ἦσαν κεχωρισμένα, καίτοι μὴ ὄντα κεχωρισμένα κατὰ τὸ εἶναι. Οὐχ οὕτω δὲ νοεῖ καὶ τὰ φυσικά, διότι ἐν τῷ τῶν φυσικῶν ὁρισμῷ ἡ αἰσθητὴ ὕλη τίθεται, ἀλλ' οὐκ ἐν τῷ λόγῳ τῶν μαθηματικῶν. Οὐδενὸς ἀφαιρεῖ μέντοι καὶ περὶ τὰ ὑλικὰ ὁ νοῦς τὸ καθόλου ἀπὸ τοῦ μερικοῦ ὁμοίως, ἐφόσον νοεῖ τὴν φύσιν τοῦ εἴδους χωρὶς τῶν τοῦ ἀτόμου ἀρχῶν, αἵτινες εἰς τὸν ὁρισμὸν τοῦ εἴδους οὐ πίπτουσιν. Καὶ διὰ τοῦτο ὁ νοῦς ὁ ἐνεργείᾳ νοῶν ἐστι τὰ πράγματα, διότι ὡς τὰ πράγματα ἐν τῷ ἑαυτῶν λόγῳ ἔχουσιν ὕλην, ἢ οὐκ ἔχουσιν, οὕτως ὑπὸ τοῦ νοῦ μετέχονται. Καὶ διότι ὁ Πλάτων τοῦτον οὐ συνεῖδε τὸν τρόπον τῆς ἀφαιρέσεως, ἠναγκάσθη θεῖναι τὰ μαθηματικὰ καὶ τὰ εἴδη κεχωρισμένα, ἀνθ' οὗ, πρὸς τὸ ποιεῖν τὴν προειρημένην ἀφαίρεσιν, ὁ Ἀριστοτέλης τὸν ἐνεργείᾳ τέθεικε νοῦν.

Ἐφεξῆς λέγων· Ἄρα δέ, κινεῖ ζήτημα περὶ τῶν κεχωρισμένων τῆς ὕλης κατὰ τὸ εἶναι, λέγων ὅτι ὕστερόν ἐστι σκεπτέον ἄρα ἐνδέχεται τὸν ἡμέτερον νοῦν μὴ κεχωρισμένον τοῦ μεγέθους ὄντα, τουτέστι τοῦ σώματος,

---

2 *πότερον*: *πῶς* B  11 *εἰ* om B  18 *ἐστι* après *καθὸ* om B  35 *κινεῖ*: *ζητεῖ* B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006